**διαίρεσις εἰς τριχῆ**

Evstath. in [Hom.] *Il.* IX 122 sq. (II, p. 671. 29 sqq. Valk) τούτων δὲ τῶν στίχων ἑκατέρου ἡ εἰς ἀνὰ δύο ἐννοίας τομὴ οὐ πάνυ μετρικῶς ἔχειν δοκεῖ τοῖς παλαιοῖς, οἵ φασιν, ὅτι τὸ μέτρον χαίρει μὲν συνδεσμεῖσθαι τοὺς πόδας ἀλλήλοις, ὡς κατὰ μηδὲν εἰς μέρος ἀπαρτίζειν λόγου, οἷον· ([Hom.] *Od.* IX 39)

Ἰλιόθεν με φέρων ἄνεμος Κικόνεσσι πέλασσε.

παραιτεῖται δὲ ὥσπερ τὸ κατὰ πόδα τέμνεσθαι, οἷον·

ὕβριος εἵνεκα τῆσδε, σὺ δ᾽ ἴσχεο, πείθεο δ᾽ ἡμῖν,

ἔνθα καθ᾽ ἕνα ἕκαστον πόδα καὶ μέρος λόγου ἀπαρτίζεται, οὕτω καὶ τὴν δίχα τομήν, ἤγουν τὴν εἰς δύο ἐννοίας, ὡς τό· ([Hom.] *Il.* VIII 78)

ἔνθ᾽ οὔτ᾽ Ἰδομενεὺς τλῆ μίμνειν οὔτ᾽ Ἀγαμέμνων.

οὕτω δὲ καὶ τὴν τριχῇ καὶ ἐπὶ πλεῖον διαίρεσιν. Ῥυθμικὰ γάρ, φασί, ταῦτα ἢ μετρικά. Οὐκοῦν καὶ τὰ ῥηθέντα δύο ἔπη ῥυθμικώτερον διάκεινται.

Anon. *de hex.* 353. 9 sqq. = [Hephaest.] 27 (p. 73) παρατεῖται δὲ (*scil.* τὸ ἡρωικὸν μέτρον) … καὶ τὴν εἰς τριχῆ διαίρεσιν δέ, ὡς ἐν τῷ· ([Hom.] *Od.* VII 303)

ἥρως, μή μοι τοὔνεκ᾽ ἀμύμονα νείκεε κούρην·

ῥυθμικὰ γὰρ τὰ τοιαῦτα <μᾶλλον> ἢ μετρικά. [*F.R.*]